ἂν γὰρ λόγων χρηστῶν σπέρματα μὴ δέχωνται μηδὲ κοινωνῶσι
παιδείας τοῖς ἀνδράσιν, αὐταὶ καθ' αὑτὰς ἄτοπα πολλὰ καὶ
φαῦλα βουλεύματα καὶ πάθη κύουσι. σὺ δ' ὦ Εὐρυδίκη μά- E
λιστα πειρῶ τοῖς τῶν σοφῶν καὶ ἀγαθῶν ἀποφθέγμασιν ὁμι-
λεῖν καὶ διὰ στόματος ἀεὶ τὰς φωνὰς ἔχειν ἐκείνας ὧν καὶ
παρθένος οὖσα παρ' ἡμῖν ἀνελάμβανες, ὅπως εὐφραίνῃς μὲν
τὸν ἄνδρα, θαυμάζῃ δ' ὑπὸ τῶν ἄλλων γυναικῶν, οὕτω
κοσμουμένη περιττῶς καὶ σεμνῶς ἀπὸ μηδενός. τοὺς μὲν γὰρ
τῆσδε τῆς πλουσίας μαργαρίτας καὶ τὰ τῆσδε τῆς ξένης σηρικὰ
λαβεῖν οὐκ ἔστιν οὐδὲ περιθέσθαι μὴ πολλοῦ πριαμένην, τὰ
δὲ Θεανοῦς κόσμια καὶ Κλεοβουλίνης καὶ Γοργοῦς τῆς Λεω-
νίδου γυναικὸς καὶ Τιμοκλείας τῆς Θεογένους ἀδελφῆς καὶ
Κλαυδίας τῆς παλαιᾶς καὶ Κορνηλίας τῆς Σκιπίωνος καὶ ὅσαι
ἐγένοντο θαυμασταὶ καὶ περιβόητοι, ταῦτα δ' ἔξεστι περικει- F
μένην προῖκα καὶ κοσμουμένην αὐτοῖς ἐνδόξως ἅμα βιοῦν
καὶ μακαρίως. εἰ γὰρ ἡ Σαπφὼ διὰ τὴν ἐν τοῖς μέλεσι καλ-
λιγραφίαν ἐφρόνει τηλικοῦτον |-ὥστε γράψαι πρός τινα πλου- 146
σίαν (fr. 68)

'κατθάνοισα δὲ κείσεαι, οὐδέ τις μναμοσύνα σέθεν
ἔσεται· οὐ γὰρ πεδέχεις ῥόδων
τῶν ἐκ Πιερίας',

πῶς οὐχί σοι μᾶλλον ἐξέσται μέγα φρονεῖν ἐφ' ἑαυτῇ καὶ
λαμπρόν, ἂν μὴ τῶν ῥόδων ἀλλὰ καὶ τῶν καρπῶν μετέχῃς,
ὧν αἱ Μοῦσαι φέρουσι καὶ χαρίζονται τοῖς παιδείαν καὶ φι-
λοσοφίαν θαυμάζουσιν;